eul_wid: tyc-bq

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

# Zosimus Speaks-Lime

## *Ζώσιμος λέγει περὶ τῆς ἀσβέστου*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

ΖΩΣΙΜΟΣ ΛΕΓΕΙ ΠΕΡΙ ΤΗΣ ΑΣΒΕΣΤΟΥ Δῆλα ὑμῖν ποιοῦμαι· γινώσκεται γὰρ ὅτι ὁ λίθος ὁ ἀλαβαστρίτης ἐγκέφαλος κέκληται διὰ τὸ κάτοχον αὐτὸν εἶναι πάσης βαφῆς φευκτῆς. Λαβὼν οὖν τὸν ἀλαβάστρινον λίθον, ὅπτα νυχθήμερον, καὶ ἔχε ἄσβεστον, καὶ λάβε ὄξος δριμύτατον καὶ κατάσβεσον· καὶ θαυμάσεις· θείαν γὰρ ποίησιν τὴν ἐπιφάνειαν λευκοτάτην ποιεῖ. Καὶ ἔα καταστῆναι, καὶ ἐπίβαλλε αὐτῷ ὄξους δριμυτάτου οὐκ ἐμφίμῳ ἀλλ' ἀπώμῳ, ἵνα τὴν ἐπιτρέχουσαν αἰθάλην καθ' ἑκάστην ἐπαίρῃς· ἔτι λαβὼν ὄξος δριμὺ δι' ἑπτὰ ἡμερῶν τὴν αἰθάλην ἐπαίρῃς, οὕτως ποίει ἄχρις ἂν ἡ αἰθάλη μὴ ἀναπέμπηται. Καὶ ἔασον ἡμέρας τεσσαράκοντα ἐν ἡλίῳ καὶ δρόσῳ τῇ ἐμπροθέσμῳ, γλύκανον ὕδατι ὑετίῳ. Καὶ ξηράνας ἐν ἡλίῳ ἔχε τὸ μυστήριον ἀμετάδοτον, ὃ οὐδεὶς τῶν προφητῶν ἐτόλμησεν μυσταγωγῆσαι τῷ λόγῳ, ἀλλὰ μόνον τοῖς νοήμοσιν αὐτῶν ἐμυσταγώγουν.

2 115 Τοῦτο γὰρ τὸ κεφάλαιον ἐκάλεσαν ἐν ταῖς λοξαῖς γραφαῖς λίθον τὸν οὐ λίθον, τὸν ἄγνωστον καὶ πᾶσι γνωστόν, τὸν ἄτιμον καὶ πολύτιμον, τὸν ἀδώρητον καὶ θεοδώρητον. Κἀγὼ δὲ αὐτὸν ἐγκωμιάσω τὸν ἀδώρητον καὶ θεοδώρητον, τὸν μόνον ἐν ταῖς ἡμῶν ἐργασίαις κρείττω τοῦ ὑλαίου. Τοῦτο γάρ ἐστι τὸ φάρμακον τὸ τὴν δύναμιν ἔχον, τὸ μιθριακὸν μυστήριον. Τὸ γὰρ πνεῦμα τοῦ πυρὸς ἑνοῦται τῷ λίθῳ, καὶ γίνεται πνεῦμα μονογενές. Τὰς δὲ ἐργασίας τοῦ λίθου ἑρμηνεύσω ὑμῖν. Κώμαρι συμμεμιγμένῳ μαργάρους ἀποτελεῖ· ἐπεί τοι γε αὐτὸν χρυσόλιθον ἐκάλεσαν· πάντα δὲ πνεῦμα σεύει τῇ δυνάμει τοῦ ξηρίου. Κἀγὼ κώμαριν μέλλω ἑρμηνεύειν ὑμῖν, ὃ οὐδεὶς ἐτόλμησεν μυσταγωγῆσαι· ἀλλὰ καὶ αὐτοὶ τοῖς νοήμοσι παρέδωκαν. Ἀπέχεται τὴν θηλυκὴν δύναμιν προτιμωτέραν αὐτήν. Αὕτη γὰρ καὶ μόνη ἡ λεύκωσις σεβασμία γέγονε παντὸς προφήτου. Ἑρμηνεύσω ὑμῖν καὶ τοῦ μαργάρου τὴν δύναμιν. Ἐργασίαν ἔχει τῷ ἐλαίῳ ἑψόμενον ὅ ἐστιν θηλυκὴ δύναμις. Λαβὼν μαργάρου τὸ ἀσιτικῶ ἕψη ἐλαίῳ οὐκ ὑποφίμῳ ἀλλ' ἀπώμῳ ἐπὶ ὥρας τρεῖς, μέσοις φωσίν· καὶ λαβὼν ῥάκος ἐρίου, ἔκθλιβε ἐν τῷ μαργάρῳ, ἵνα ἀποβάλῃ τὸ ἔλαιον, καὶ ἔχε εἰς τὰς χρείας τῶν καταβαφῶν· ἡ γὰρ τελείωσις τοῦ ὑλαίου διὰ τοῦ μαργάρου ἐστίν. Ἆρσις δὲ ἑρμηνεύεται ὁ κουφισμός· ἀνθ' ὧν αἴρεται καὶ κουφίζεται ἡ τοῦ ὕδατος ἐπίχυσις, ἐκ τῆς τοῦ σώματος συμπλοκῆς ἀνεμποδίστως τὸ μολύβδου πήσηται ὑπόμονος τούτῳ ποιῆσαι. Ἀρκεστῶμεν τῇ θυείᾳ καὶ τῷ δοίδυκι ἐπὶ τῶν δύο βαφῶν· ἐπὶ δὲ τοῦ χαλκοῦ, ἐπεὶ περὶ τούτου Ζώσιμος καὶ ὑπὸ πλήθους ὑδάτων σηπόμενον διὰ τῆς τοῦ ἀέρος ὑγρότητος τε καὶ θερμότητος αὐξανόμενον ἄνθη φορεῖ κατὰ πολὺ γλυκύτητα, καὶ τῇ ποιότητι τῆς φύσεως καρποφορεῖ:

Eulogikon public reading copy · View original HTML at eulogikon.org